ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΚΑΤΑ ΑΝ-
ΔΡΟΤΙΩΝΟΣ
ΛΟΓΟΣ.

ΚΑΙ,

ΔΗΜΟΣΘΕΝΟΥΣ

ΚΑΤΑ ΑΡΙ-
ΣΤΟΓΕΙΤΟΝΟΣ, ΛΟ-
ΓΟΣ ΠΡΩΤΟΣ.

Excudebat IOHANNES LE-
GATVS, Inclytæ Academiæ
Cantabrigiensis Typographus.

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ, ΤΟΥ ΚΑΤ' ἈΝΔΡΟΤΙΩΝΟΣ, [illegible] λόγου.

ΤΟ ἔθος ἦν ἐν Ἀθήναις βουλὴν μὲν [illegible] πλὴν εἰ τι φόνον ἑκούσιον ἢ [illegible] ἀρχὴν [illegible] ἡ κατ' ἐνιαυτὸν ἠμείβετο, ἐκ πεντακοσίων [illegible] βουλευτικὴν κλήρῳ [illegible]. νόμος δὲ [illegible] τὴν βουλὴν [illegible] τριήρεις [illegible] κωλύει αὐτὴν αἰτεῖν παρὰ τοῦ δήμου δωρεάν [illegible] τριήρεις [illegible] ἐποιήσατο. [illegible] ἔγραψεν ἐν τῷ δήμῳ [illegible] στεφανῶσαι τὴν βουλὴν [illegible] δύο ἐχθροί, Εὐκτήμονος καὶ Διόδωρος [illegible] Εὐκτήμων, Διόδωρος δὲ ὁ [illegible] τοῦ λόγου [illegible] τριήρεις [illegible] ψηφισμα [illegible] οντες μὴ πρότερον εἰς τὸν δῆμον ψήφισμα εἰσφέρειν, [illegible] τὸν [illegible] τὸν νόμον [illegible] τὴν [illegible], [illegible] αὐτὴν μὴ ποιησαμένην τὴν βουλὴν τὰς τριήρεις, μὴ αἰτεῖν [illegible] αἰτεῖν [illegible], δῆλον ὡς [illegible] συγκεχώρηται [illegible] καὶ τὸν [illegible] τοῦ δημοσίου [illegible] ὁ Ἀνδροτίων [illegible] ἀμφοτέρους [illegible] καὶ χρέος [illegible] ὀφείλειν τῇ πόλει.

ΔΗΜΟΣΘΕΝΟΥΣ Ὁ ΚΑΤΑ Ἀνδροτίωνος λόγος.

ΟΠΕΡ Εὐκτήμων, ὦ ἄνδρες δικασταί, παθὼν ὑπ' Ἀνδροτίωνος, ἅμα τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν, καὶ δίκην ὑπὲρ αὑτοῦ λαβεῖν, τοῦτο κἀγὼ πειράσομαι ποιεῖν, ἐὰν ἄρα οἷός τ' ὦ. συμβέβηκε δὲ πολλὰ καὶ δεινὰ

 καὶ

καὶ πρὸς πάντας τοὺς ἄλλους Εὐκτήμων ὑβρίσθη, ἐλάττω ταῦτ' ἐστὶ τῶν ἐμοὶ [illegible] τῷ ἀνδροτίωνι πραγμάτων. Εὐκτήμονι μὲν γὰρ εἰς χρήματα καὶ τὸ παρ' ὑμῶν ἀδίκως ἐκπεσεῖν ἐπεβουλεύθη, ἐμοὶ δὲ, [illegible] ἐξελέσθαι τῶν ὄντων ἀνθρώπων [illegible], εἰ τὰ [illegible] κατὰ τούτου παρ' ὑμῖν ἐπιστεύθη. αἰτίαν μὲν γὰρ [illegible] ἃ καὶ λέγειν ἂν ὀκνήσειέ τις, εἰ μὴ τύχοι προσόμοιος ὢν τούτῳ, τὸν πατέρα ὡς ἀπέκτονα τὸν ἐμαυτοῦ, καὶ κατασκευάσας ἀσεβείας γραφὴν οὐκ ἐπ' ἐμὲ, ἀλλ' ἐπὶ τὸν θεῖόν μου, γράψας ἀσεβεῖν ἐμοὶ συνιόντα εἰς ταὐτὸ ὡς πεποιηκότι ταῦτα, εἰς ἀγῶνα κατέστησεν. ὃν εἰ συνέβη τότε ἁλῶναι, τίς ἂν ἀθλιώτερος ἐμοῦ [illegible] διὰ τούτου; τίς γὰρ ἢ φίλος [illegible] εἰς ταὐτό ποτ' ἐλθεῖν ἠθέλησε συνεῖναι; τίς δ' [illegible] πόλις [illegible] παρ' ἑαυτῇ [illegible] τὸν τοιοῦτον ἀσεβεῖν δοκοῦντα [illegible] οὐκ ἔστιν οὐδεμία. ἐγὼ τοίνυν ταῦτα μὲν [illegible] μακρὸν ἀγωνιζόμενος παρ' ὑμῖν, ἀπελυσάμην, ἀλλ' ὥστε τὸ πέμπτον μέρος μὴ μεταλαβεῖν τοῦτον τῶν ψήφων, τοῦτον [illegible] ὑμῶν πειράσομαι καὶ νῦν, καὶ τὸν ἄλλον ἅπαντα χρόνον ἀμύνεσθαι. καὶ περὶ μὲν τῶν ἰδίων ἔχων ἔτι πολλὰ λέγειν, ἐάσω. περὶ δ' ὧν οἴσετε τὴν ψῆφον νυνὶ, καὶ περὶ ὧν [illegible] δημοσίᾳ [illegible] πεπολιτευμένος, οὐκ ὀλίγα [illegible] ἐβλάβητε, [illegible] Εὐκτήμων ἔδοξε, [illegible] ταῦτα διεξελθεῖν ἐν [illegible] ἐγὼ γὰρ εἰ μὲν ἑώρων [illegible] ἡμᾶς [illegible] ἀπολογίαν, ἐκ [illegible] τὴν μνήμην οὐδεμίαν [illegible]

μένα, οὐδὲ ἄλλων οὐδὲν ἂν εἰπεῖν ἔχοι [illegible]
δ' ὑμᾶς παράγοιτο [illegible]
τούτου καινότερους λόγους. ἔστι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι,
τεχνίτης τοῦ λέγειν, καὶ πάντα ἃ βούλεται [illegible] ἐν γράμμασι
[illegible] τοῦ μὴ παρακρουσθέντας ὑμᾶς, [illegible]
τοῖς ὀνομαζομένοις [illegible] ψηφίσμασι, [illegible]
τούτων, ἐν ὑμῖν πολλῶν εἶναι καὶ ἄξιον [illegible]
τὸν νοῦν ὅσ' ἐρῶ, ἵνα ἀκούσαντες [illegible]
περὶ τούτου ψηφισαμένων, [illegible] ἔχοιτε ὑπολαμβάνητε
δεῖν. ἔστι γὰρ [illegible] τεχνικῶς ἔχειν αὐτῷ,
γος, περὶ τῶν [illegible] νόμος [illegible] φησιν [illegible]
ὡς ἡ βουλὴ [illegible] βουλεῦσαι δωρεὰς [illegible] δῆμος
δωρεὰν αὐτῷ. ταῦτ' ἐπήρετο φησιν [illegible]
χειροτονήσειν ὁ δῆμος. ἔδοξεν [illegible]
λεύματος [illegible] νόμον [illegible]
δ' αὐτὸ τοὐναντίον [illegible] νομίζω δὲ καὶ ὑμῶν συνειδέναι
περὶ τούτων τὰ προβουλεύματα [illegible] μόνον [illegible]
κελεύουσιν οἱ νόμοι. ἐπεὶ [illegible]
γράφειν τὸν ἄρχοντα [illegible]
ἅπασαι [illegible] εἰληφέναι τὰς δωρεάς, [illegible]
ποτ' ἔχουσι παρ' ὑμῶν δωρεὰν καὶ ὁ δῆμος [illegible]
βούλευμα πώποτε. ἐγὼ δέ, [illegible] χρὴ λέγειν τὴν
ἀλήθειαν μᾶλλον ἢ [illegible]
τοιοῦτο δεῖ [illegible], ὁ νόμος ἢ λέγει τἀναντία, οὐχ [illegible]
πολλάκις. [illegible]
ξ[illegible] καὶ [illegible] τοὐναντίον, [illegible]
ὁ νόμος κελεύει τὰ τοιαῦτα ποιεῖν [illegible]
[illegible] λέγει ὡς γέγονε ταῦτα πολλάκις, [illegible]

ὡς ἔστιν ἀπροβούλευτον ἐγκαλεῖν, εἰ γὰρ δεῖ τι ποιεῖν μὴ κατὰ τοὺς νόμους ὁ γράψας, οὐ τὸ ψήφισμα ἀδικεῖ, ἀλλὰ σὺ τὸ ἀπροβούλευτον ἐγκαλεῖς· ἀλλὰ πολλῷ μᾶλλον ἡγοῦμαι ἀδικεῖν γὰρ δεῖ τοῖς ζημίαις περιβάλλειν, σὺ τοίνυν ἐκεῖνο γεγράφθαι, ὅπως ἂν σὺ τὸν δῆμον φῇς, ἀλλ' ὡς ὁ γεγραφὼς περὶ τοίνυν τοῦ νόμου, τοῦ διαρρήδην οὐκ ἐῶντος ἐξεῖναι, μὴ ποιησαμένῃ τῇ βουλῇ τὰς τριήρεις αἰτῆσαι τὴν δωρεάν, ἄξιόν ἐστιν ἀκοῦσαι τὴν ἀπολογίαν ἣν ποιήσεται, καὶ θεωρῆσαι τὴν ἀναίδειαν τοῦ τρόπου, δι' ὧν ἐγχειρεῖ λέγειν. ὁ νόμος, φησὶν, οὐκ ἐᾷ τὴν βουλὴν αἰτῆσαι τὴν δωρεάν, ἐὰν μὴ ποιήσηται τὰς τριήρεις· ὁμολογῶ. δοῦναι δὲ τῷ δήμῳ φησὶ κωλύει τὸν δῆμον. ἐγὼ δ' εἰ μὲν ἔδωκα αἰτησάσῃ, παρὰ τὸν νόμον εἴρηται· εἰ δὲ μηδὲ ἐπεποιήμην μνείαν οὐδεμίαν περὶ τούτων ἐν ὅλῳ τῷ ψηφίσματι, ἀλλ' ἕτερ' ἄττα λέγω, δι' ἃ τὴν βουλὴν στεφανοῦν, πῶς παρὰ τὸν νόμον εἴρηκας ἔστι; πρὸς δὲ ταῦτα οὐ χαλεπὸν τὸ δίκαιον ὑμῖν ἀντειπεῖν· ὅτι πρῶτον μὲν οἱ προεδρεύοντες τῆς βουλῆς, καὶ ὁ ταῦτ' ἐπιψηφίζων ἐπιστάτης, ἠρώτων καὶ διαχειροτονίαν ἐδίδοσαν, εἴτε δοκεῖ δωρεᾶς ἀξία ἡ βουλὴ βεβουλευκέναι, καὶ εἴτε μή. καίτοι τούς γε μὴ αἰτοῦντας, μηδὲ ἀξιοῦντας λαβεῖν, τὴν ἀρχὴν οὐδ' ἐρωτᾶν προσῆκε. πρὸς δὲ τούτοις, ἐὰν μὲν δὴ κατηγορῆταί τι τῆς βουλῆς, καὶ δηλοῦν πρῶτοι ἀναπηδῶντες οἱ βουλευταὶ λέγουσιν ὡς μὴ σφᾶς ἀφαιρεθῆναι τὴν δωρεάν. καὶ ταῦτ' οὐ παρ' ἐμοῦ δεῖ πυθέσθαι τοὺς δικάζοντας ὑμᾶς, ἀλλ' αὐτοὶ παρόντες ἴστε τοὺς ἐν τῷ δήμῳ γενομένους λόγους. ὅταν δὲ μὴ φῇ τὴν βουλὴν αἰτῆσαι, τοῦθ' ὑπολαμβάνετε ὅτι

ὅτι τῇ βουλῇ τὸν δῆμον ἐξ διδόναι μὴ ποιησαμένῃ τὰς ναῦς ὁ νόμος, καὶ τοῦτ' ἐπιδείξω. ἐπὶ τούτοις γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, ὅτ' ἔχει τὸν τρόπον ὁ νόμος, μὴ ἐξεῖναι τῇ βουλῇ μὴ ποιησαμένῃ τὰς τριήρεις αἰτῆσαι τὴν δωρεὰν, ἵνα μηδὲ πεισθῆναι, μηδ' ἐξαπατηθῆναι γένοιτ' ἐπὶ τῷ δήμῳ. οὐ γὰρ ᾤετο δεῖν ὁ τιθεὶς τὸν νόμον, ἐπὶ τῇ τῶν λεγόντων δυνάμει τὸ *πρᾶγμα καταστῆσαι· ἀλλ' ὃ δίκαιον ἦν εὑρεῖν ἅμα καὶ συμφέρον τῷ δήμῳ, νόμῳ τετάχθαι. τὰς τριήρεις οὐ πεποίηκας, μὴ τοίνυν αἴτει δωρεάν. ὅτι δ' αἰτεῖν οὐκ ἐξ, πῶς οὐ σφόδρα δοκεῖ γε καλῶς; ἄξιον τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, κἀκεῖνο ἐξετάσαι, τί δήποτε, ἂν τἄλλα πάντα ἡ βουλὴ καλῶς βουλεύσῃ, καὶ μηδεὶς αὐτῇ μηδὲν ἐγκαλέσαι, τὰς δὲ τριήρεις μὴ ποιήσηται, τὴν δωρεὰν οὐκ ἐξέσται αἰτῆσαι. εὑρήσετε γὰρ τοῦτο τὸ ἰσχυρὸν ὑπὲρ τοῦ δήμου κείμενον. οἶμαι γὰρ ἂν μηδένα ἀντειπεῖν, ὡς οὐχ ὅσα πώποτε τῇ πόλει γέγονεν, ἢ τῶν ὄντων ἀγαθὰ, ἢ θάτερα, ἵνα μηδὲν εἴπω φλαυρότερον, ἐκ τῆς τῶν *[illegible]ραν, τὰ μὲν κτήσεως, τὰ δ' ἀποβολῆς γέγονεν. δι' πολλὰ μὲν ἄν τις ἔχοι λέγειν καὶ παλαιὰ, καὶ καινά. ὃ δ' ἐν πᾶσι μάλιστ' ἀκοῦσαι γνώριμα, τοῦτο μὲν εἰ βούλεσθε, οἱ τὰ προπύλαια, καὶ τὸν παρθενῶνα οἰκοδομήσαντες ἐκεῖνοι, καὶ τἄλλα πάντα ἀπὸ τῶν βαρβάρων ἱερὰ κοσμήσαντες, ἐφ' οἷς φιλοτιμούμεθα πάντες εἰκότως. ἴστε γὰρ δήπου τοῦτ' ἀκοῇ, ὅτι τὴν πόλιν ἐκλιπόντες, καὶ κατακλεισθέντες εἰς σαλαμῖνα, ἐκ τοῦ τριήρεις ἔχειν, πάντα μὲν τὰ σφέτερα αὐτῶν, καὶ τὴν πόλιν, τῇ ναυμαχίᾳ νικήσαντες, ἔσωσαν. πολλῶν δὲ καὶ με-

*ἴσως α.

*τριηρῶν

μᾶλλον ἀγαθῶν ποιεῖ, ἀλλ' οὓς ἄλλοι κατέστησαν αὐτοί, εἰ δ' ὁ χρόνος τὴν μνήμην ἀφῃρῆσθαι δύναται. ἐῶ ἀλλ' ἐκεῖνα μὲν ἀρχαῖα καὶ παλαιά· ἀλλ' ἃ πάντες ἑοράκατε, ἴσθ' ὅτι πρῴην Εὐβοεῦσιν, ἡμέραις τρισὶν ἐβοηθήσατε, καὶ Θηβαίους ὑποσπόνδους ἀπεπέμψατε. ἆρ' οὖν ταῦτ' ἐπράξατ' ἂν οὕτως ὀξέως, εἰ μὴ ναῦς εἴχετε καινάς, ἐν αἷς ἐβοηθήσατε; ἀλλ' οὐκ ἂν ἠδύνασθε. ἀλλὰ πολλὰ ἔχοι τις ἂν εἰπεῖν, ἃ τῇ πόλει γέγονεν, ἐκ τοῦ ταύτας κατεσκευάσθαι καλῶς, ἀγαθά. ἐκ δὲ τοῦ κακῶς, πόσα δεινά. τὰ μὲν πολλὰ ἐάσω. ἀλλ' ἐστὶ τοῦ Δεκελεικοῦ πολέμου, τῶν γ' ἀρχαίων ὃ πάντες ἐμοῦ μᾶλλον ἐπίστασθε, ὑπομνήσω. πολλῶν γὰρ καὶ δεινῶν ἀτυχημάτων συμβάντων τῇ πόλει, ὕστερον τοῦ πολέμου παρέστησαν, οὐ πρὶν ἢ τὸ ναυτικὸν αὐτῶν ἀπώλετο. καὶ τί δεῖ τὰ παλαιὰ λέγειν. τὸν τελευταῖον γὰρ ἴστε τὸν πρὸς Λακεδαιμονίους πόλεμον, ὅτε μὲν ναῦς οὐκ ἐδοκεῖτε ἀποστεῖλαι δυνήσεσθαι, πῶς διέκειτο ἡ πόλις. ἴστε ἐρεβίνθους ὄντας ὠνίους. ἐπειδὴ δ' ἀπεστείλατε, εἰρήνης ἐτύχετε οἵας τινὸς ὑμεῖς ἐβούλεσθε. ὥστε δικαίως, ὦ ἄνδρες Ἀθηναῖοι, τηλικαύτην ἐχουσῶν ῥοπὴν ἐφ' ἑκάτερα τῶν τριήρων, ὅρον τοῦτον ποιήσαιτε τῇ βουλῇ, πότερ' αὐτὴν δεῖ λαβεῖν τὴν δωρεὰν ἢ οὔ. εἰ γὰρ τἆλλα πάντα διῳκήκασι καλῶς, δι' ὧν δὲ τὸ ἐξ ἀρχῆς ταῦτ' ἐκτησάμεθα, καὶ νῦν σῳζόμεθα, ταῦτα μὴ πεποίηκε, τὰ λοιπὰ ἐάσω· οὐδὲν ὄφελος. τὴν γὰρ ὅλην σωτηρίαν ὑπάρχειν δεῖ παρεσκευασμένην τῷ δήμῳ. οὐ τοίνυν εἰς

τοῦτο

μνήμην

ἐρεβίνθ.

ἠβούλε-
σθε μᾶλ.

Α

τοῦτο ἐλήλυθε τοῦ νομίζειν αὐτὸς καὶ λέγειν καὶ γράφειν
ἐξεῖναι τοῦθ᾽ ὅ, τι ἂν βούληται, ὥστε βεβουλευκὼς
μὲν πάντα ὃν τρόπον ὑμεῖς ἀκούετε τὴν βουλὴν, οὐ πε-
ποιημένης δὲ τὰς τριήρεις, γέγραφε δοῦναι τὴν δωρεὰν
αὐτῇ. καὶ ταῦτα μὲν ὡς οὐ παρὰ τὸν νόμον ἐστὶν, οὔτ᾽ ἂν αὐ-
τὸς ἔχοι λέγειν, οὔθ᾽ ὑμεῖς πεισθείητε ἄν. ἀκούω δ᾽ αὐτὸν
τοιοῦτον ἐρεῖν τινὰ ἐν ὑμῖν λόγον, ὡς οὐχ ἡ βουλὴ γέγο-
νεν αἰτία τοῦ μὴ πεποιῆσθαι τὰς ναῦς, ἀλλ᾽ ὁ τὰς τριηρο-
ποιῶν ταμίας, ὃς ἀποδρὰς ᾤχετο, ἔχων πέντε ἡμιτά-
λαντα, καὶ τὸ πρᾶγμα ἀπὸ χειμῶνα συμβέβηκεν. ἐγὼ δὲ
πρῶτον μὲν αὐτὸ τοῦτο θαυμάζω, εἰ στεφανοῦν ἀπὸ
τοῖς ἠτυχηκόσιν ἀξιοῖ τὴν βουλήν. τὴν γὰρ κατορθωσάσαν
γὰρ ἔγωγε ἡγούμην ἔργον τὰς τοιαύτας εἰλῆφθαι τι-
μάς. ἔπειτα κἀκεῖνο ἔτι βούλομαι φράσαι πρὸς ὑ-
μᾶς. οὔ φημι δίκαιον εἶναι περὶ ἀμφοῖν λέγειν, ὡς οὐ πα-
ρὰ τὸν νόμον ἡ δωρεὰ δίδοται, καὶ ὡς οὐ διὰ τοῦτον βου- διδο.θ.c.
λὴν οὐκ εἰσὶν αἱ τριήρεις. εἰ μὲν γὰρ διδόναι καὶ μὴ πε-
ποιημένῃ προσήκει, τί τοῦτο δεῖ λέγειν, δι᾽ ὅν τινα οὐ-
πω εἰσὶ πεποιημέναι. εἰ δ᾽ οὐκ ἔξεστι, τί μᾶλλον ἂν αἰτεῖτ. c.
ἂν διὰ τὸν δεῖνα, ἢ τὸν δεῖνα ἐπιδείξῃ μὴ πεποιημένας
ἐκείνῃ προσήκει λαβεῖν. χωρὶς δὲ τούτων, ὁμολογου-
μένην αἵρεσιν ὑμῖν οἱ τοιοῦτοι λόγοι διδόασι, πότε-
ρον οἴεσθε προφάσεις καὶ λόγους δεῖν ἀκούειν τὴν βουλὴν
κομίζουσαν ὑμᾶς, ἢ ναῦς κεκτῆσθαι. εἰ μὲν γὰρ τοιαῦ-
τα αὐτῇ ἀποδέξεσθε, ἔσται δῆλον ἅπασι τοῖς βουλεύσουσιν
ὅτι δεῖ προφάσεις πιθανὰς ἐξευρεῖν πρὸς ὑμᾶς, ἐν χειρὶ. α.
οὐχὶ τριήρεις ποιήσασθαι. ἐκ δὲ τούτου, τὰ μὲν χρή-
ματα ἀνηλωμένα ἔσται, ναῦς δ᾽ οὐχ ἕξετε ὑμεῖς. εἰ δὲ ὡς

 ὡς

ὡς ἀνώνυμος λέγει, καὶ δεῖ τοὺς ὀμωμοκότας, πικρῶς
καὶ ἀκριβῶς τὰς μὲν περιφάσεις ἀφέλητε, φαίνητε δ᾽ ἀφῃ-
ρημένοι τὴν δωρεὰν, ὅτι τὰς ναῦς οὐ πεποίηνται, πάν-
τας, ὦ ἄνδρες Ἀθηναῖοι, πεποιημένας ὑμῖν παραδεδω-
κόσι τὰς τριήρεις, πάντα τ᾽ ἄλλα παρ᾽ ὑμῖν ἑωρακό-
τας ἀκριβέστερα τοῦ νόμου γεγενημένα. ὅτι τοίνυν οὐδ᾽
αἴτιος ἄλλος ἐστὶν οὐδεὶς ἀνθρώπων τοῦ μὴ πεποι-
ῆσθαι τὰς ναῦς, καὶ τοῦτο σαφῶς ὑμῖν ἐπιδείξω. ἀνη-
λώσατο γὰρ ἡ βουλὴ τὸν νόμον, τοῦτον ἐχειροτόνησεν αὐτή.
Ἔτι τοίνυν ἐπιχειρεῖ λέγειν περὶ τοῦ τῆς ἑταιρήσεως νό-
μου, ὡς ὑβρίζομεν ἡμεῖς, καὶ βλασφημίας οὐχὶ προσ-
ηκούσας κατ᾽ αὐτοῦ ποιούμεθα. καὶ φησὶ δεῖν ἡμᾶς, εἴ-
περ ἐπιστεύομεν εἶναι ταῦτ᾽ ἀληθῆ, πρὸς τοὺς θεσμο-
θέτας ἀπαντᾶν, ἵν᾽ ἐκεῖ περὶ χιλίων ἐκινδυνεύομεν,
εἰ κατεψευδόμενοι ταῦτ᾽ ἐφαινόμεθα. νῦν δὲ φενακί-
ζειν φησὶν, αἰτίας καὶ λοιδορίας κενὰς ποιουμένους, καὶ
ἐνοχλεῖν οὐ δικασταῖς τοῖς οὖσιν ὑμῖν. ἐγὼ δ᾽ οἶμαι
δεῖν ὑμᾶς πρῶτον μὲν ἐκεῖνο λογίζεσθαι παρ᾽ ὑμῖν
αὐτοῖς, ὅτι πάμπολυ λοιδορία τε καὶ αἰτία κεχω-
ρισμένον ἐστὶν ἐλέγχου. αἰτία μὲν γάρ ἐστιν, ὅταν τις
ψιλῷ χρησάμενος λόγῳ, μὴ παράσχηται πίστιν ὧν
λέγει. ἔλεγχος δὲ, ὅταν ὧν ἂν εἴπῃ τις, καὶ τἀληθὲς
ὁμοῦ δείξῃ. ἔστι τοίνυν ἀνάγκη τοὺς ἐλέγχοντας ἢ τεκ-
μήρια δεικνύναι δι᾽ ὧν ἐμφανιοῦσι τὸ πιστὸν ὑμῖν, ἢ
τὰ εἰκότα φράζειν, ἢ μάρτυρας παρέχεσθαι. οὐ γὰρ δήπου
ἐνίων αὐτόπτας ὑμᾶς ἐστὶ καταστῆσαι. ἀλλ᾽ ὅταν τις ἐπι-
δεικνύῃ τι τούτων, ἱκανὸν νομίζετε ἔλεγχον ἔχειν ὑ-
μεῖς εἰκότως τῆς ἀληθείας ἑκάστου. ἡμεῖς τοίνυν οὐκ

ἐκ

ἐκ λόγων εἰκότων, οὐδὲ ἐκ τεκμηρίων, ἀλλὰ παρ' οὗ μάλιστα δίκην ἐστὶ λαβεῖν, τούτῳ ταῦτ' ἐπιδεικνύντα μὲν, ἄνδρα παρεσχηκότα γραμματεῖον, ἐν ᾧ τὰ τούτῳ βεβιωμένα ἔνεστιν· ὃς αὐτὸν ὑπεύθυνον ποιήσας, μὴ ποιεῖ ταῦτα. αὖθις, ὅταν μὲν λοιδορίαν ταῦτα, καὶ αἰτίαν εἶναι φῇ, ὑπολαμβάνετε, ὅτι ταῦτα μέν ἐστιν ἔλεγχος· ἃ δὲ οὗτος ποιεῖ, ταῦτα λοιδορία καὶ αἰτία. ὅταν δ' ὅτι πρὸς τοὺς θεσμοθέτας προσῆκεν ἐπαγγέλλειν ἡμῖν, ἐκεῖνο ὑπολαμβάνετε, ὅτι καὶ τοῦτο ποιήσομεν, καὶ νῦν περὶ τῶν προσηκόντων τῷ νόμῳ λέγομεν. εἰ μὲν γὰρ ἄλλον τινὰ ἀγῶνα ἠγωνιζόμεθ' αὐτῷ ταῦτα κατηγοροῦντες, δικαίως ἂν ἠγανακτεῖτε. εἰ δ' ὁ μὲν νῦν ἐνεστηκὼς ἀγών ἐστι παρανόμων, οἱ νόμοι δ' οὐκ ἐῶσι λέγειν οὐδὲ τὰ ἔννομα τοὺς οὕτω βεβιωκότας, ἡμεῖς δ' ἐπιδείκνυμεν οὐ μόνον εἰρηκότα αὐτὸν παράνομα, ἀλλὰ καὶ βεβιωκότα παρανόμως, πῶς οὐχὶ προσήκει λέγειν περὶ τούτου τοῦ νόμου, δι' οὗ ταῦτα ἐλέγχεται; καὶ μὴν, κἀκεῖνό γε δεῖ μαθεῖν ὑμᾶς, ὅτι τοὺς νόμους ὁ θεὶς τούτους Σόλων, καὶ τῶν ἄλλων τοὺς πολλοὺς, οὐδὲν ὅμοιος ὢν τούτῳ νομοθέτης, οὐχ ἕνα δέδωκε τρόπον περὶ τῶν ἀδικημάτων ἑκάστων * λαβεῖν δίκην τοῖς βουλομένοις παρὰ τῶν ἀδικούντων, ἀλλὰ πολλαχῶς. ᾔδει γὰρ οἶμαι, τοῦθ' ὅτι τοὺς ἐν τῇ πόλει γενέσθαι πάντας * ὁμοίους, ἢ δεινοὺς, ἢ θρασεῖς, ἢ μετρίους, οὐκ ἂν εἴη. εἰ μὲν οὖν ὡς τοῖς μετρίοις δίκην * ἐξαρκέσει λαβεῖν, οὕτω τοὺς νόμους θήσει, μετ' ἀδείας ἔσεσθαι πολλοὺς πονηροὺς ἡγεῖτο. εἰ δ' ὡς τοῖς θρασέσι, καὶ δυναμένοις λέγειν, τοὺς

ἰδιώτας

*λαμβάνειν.

*ὁμοίως.

*ἐξαρκέσαι.

ἰδιώτας ἢ δυνήσονται τὸν αὐτὸν τρόπον λαμβάνειν δίκην. δεῖν δ' ᾤετο μηδένα ἀποστερεῖσθαι τοῦ δίκης τυχεῖν, ὡς ἕκαστος δύναται. πῶς οὖν ἔσται τοῦτο; ἐὰν πολλὰς ὁδοὺς δῷ διὰ τῶν νόμων ἐπὶ τοὺς ἠδικηκότας, οἷον τῆς κλοπῆς, ἔρρωσαι καὶ σαυτῷ πιστεύεις, ἄπαγε. ἐν χιλίαις ὁ κίνδυνος. ἀσθενέστερος εἶ; τοῖς ἄρχουσιν ἐφηγοῦ. τοῦτο ποιήσουσιν ἐκεῖνοι. φοβῇ καὶ τοῦτο; γράφου. καταμέμφῃ σεαυτὸν, καὶ πένης ὢν οὐκ ἂν ἔχοις χιλίας ἐκτεῖσαι; δικάζου κλοπῆς πρὸς διαιτητὴν, καὶ οὐ κινδυνεύσεις. οὐδέτερον βούλει τούτων; γράφου. καὶ τοῦτο; ἐφηγοῦ. τούτων οὐδέν ἐστι τὸ αὐτό. τῆς ἀσεβείας κατὰ ταὐτά ἐστιν, ἀπάγειν, γράφεσθαι, δικάζεσθαι πρὸς Εὐμολπίδας, φράζειν πρὸς τὸν βασιλέα. περὶ τῶν ἄλλων ἁπάντων τὸν αὐτὸν τρόπον σχεδόν. εἰ δή τις ὡς μὲν οὐχὶ κακοῦργός ἐστι, μὴ λέγοι, ἢ ὡς οὐκ ἀσεβὴς, ἢ ὅ, τι δήποτ' εἴη, δι' ὃ κρίνοιτο. διὰ ταῦτα δ' ἐκφεύγειν ἀξιοίη, εἰ μὲν ἀπηγμένος εἴη, διότι πρὸς διαιτητὴν ἐξῆν αὐτῷ λαχεῖν, καὶ γράφεσθαι χρῆν. εἰ δὲ πρὸς διαιτητὴν φεύγοι, ὅτι χρῆν σε ἀπάγειν, ἵν' ἐκινδύνευες περὶ χιλίων, γέλως ἂν εἴη δήπουθεν. οὐ γὰρ τόν γε μηδὲν πεποιηκότα, δεῖ περὶ τοῦ τρόπου ὅν τινα χρὴ διδόναι δίκην ἀντιλέγειν, ἀλλ' ὡς οὐ πεποίηκεν ἀποδεικνύναι. τὸν αὐτὸν δὴ τρόπον Ἀνδροτίων καὶ σὺ, μὴ διὰ ταῦτα οἴου σοι προσήκειν μὴ δοῦναι δίκην, εἰ γέγραφας παρανόμως, ὅτι καὶ πρὸς τοὺς θεσμοθέτας ἔσθ' ἡμῖν ἐπαγγελία. ἀλλ' ἢ δεῖξον οὐ πεποιηκότα ταῦτα σεαυτὸν, ἢ δίκην ὕπεχε, εἰ γέγραφάς τι, τοιοῦτος ὤν. οὐ γὰρ ἔξεστί σοι. εἰ δέ σε μὴ ἠγνόεις, ὅσοις ἐκ νόμων δίδοται;

πρὸ τοὺς

πρότερος τιμωρησόμεθα, χάριν ἡμῖν ἂν ὀφείλοι πολλὴν ἐκεῖνον ἔχει. μὴ διὰ ταῦτα ἀξιῶν, ὦ μηδὲ καθ' ἕνα τρόπον δοῦναι δίκην. ἄξιον τοίνυν ἐστὶ καὶ τὸν θέντα τὸν νόμον ἐξετάσαι Σόλωνα, καὶ θεάσασθαι ὅσην πρόνοιαν ἐποιεῖτο ἐν ἅπασιν, οἷς ἐτίθει νόμοις, τῆς πολιτείας, καὶ ὅσῳ περὶ τούτου μᾶλλον ἐσπούδαζεν ἢ περὶ τοῦ πράγματος, περὶ οὗ τιθείη τὸν νόμον. πολλαχόθεν μὲν οὖν ἄν τις ἴδοι τοῦτο, οὐχ ἥκιστα δ' ἐκ τούτου τοῦ νόμου, ὃς οὐκ ἐᾷ λέγειν μήτε γράφειν ἐξεῖναι τοῖς ἡταιρηκόσιν. εἶδε γὰρ ἐκεῖνο, ὅτι τοῖς πολλοῖς ὑμῶν ἐξὸν λέγειν, οὐ λέγετε, ὥστε τοῦτο μὲν οὐδὲν ἡγεῖτο βαρύ. καὶ τοι πολλὰ ἂν εἶχεν, εἰ ἐβούλετο κολάζειν τούτους, χαλεπώτερα. ἀλλ' οὐ τοῦτ' ἐσπούδασεν, ἀλλ' ὑπὲρ ὑμῶν καὶ τῆς πολιτείας. ᾔδει γὰρ, ᾔδει τοῖς αἰσχρῶς βεβιωκόσιν ἁπασῶν οὖσαν ἐναντιωτάτην πολιτείαν, ἐν ᾗ πᾶσιν ἔξεστι λέγειν τἀκείνων ὀνείδη. ἔστι δ' αὕτη τίς; δημοκρατία. οὐκ ᾤετ' οὖν ἀσφαλὲς, εἴ ποτε συμβήσεται γενέσθαι συχνοὺς ἀνθρώπους κατὰ τοὺς αὐτοὺς χρόνους εἰπεῖν μὲν δεινοὺς καὶ θρασεῖς, τοιούτων δ' ὀνειδῶν καὶ κακῶν μεστούς. πολλὰ γὰρ ἂν τὸν δῆμον ὑπ' αὐτῶν ὑπαχθέντα ἐξαμαρτεῖν, κἀκείνους ἤτοι καταλῦσαί γ' ἂν πειρᾶσθαι τὸ παράπαν τὸν δῆμον. ἐν γὰρ ταῖς ὀλιγαρχίαις, οὐδ' ἂν ὦσιν ἔτ' Ἀνδροτίωνός τινες αἴσχιον βεβιωκότες, οὐκ ἔστι λέγειν κακῶς τοὺς ἄρχοντας. ἢ προάγειν ἂν ὡς πονηροτάτους εἶναι, ἵν' ὡς ὁμοιότατοι σφίσιν ὦσι. τὴν ἀρχὴν οὖν ἀπεῖπε τοῖς τοιούτοις μὴ μετέχειν τοῦ συμβουλεύειν, ἵνα μὴ φενακισθεὶς ὁ δῆμος ἐξαμάρτῃ μηδὲν. ὧν οὐκ ὀλιγωρήσας ὁ καλὸς κἀγαθὸς

αὐτῷ, οὐ μόνον ὅτι ἀσεβῆ λέγειν, καὶ γράφειν, οὐκ ἐξὸν, ἀλλὰ καὶ παρὰ τοὺς νόμους ταῦτα ποιεῖν. περὶ μὲν τοίνυν νόμου, καθ' ὃν ὀφληκότος αὐτοῦ τοῦ πατρὸς τῷ δημοσίῳ χρήματα καὶ οὐκ ἐκτετικότος, οὐκ ἔξεστι λέγειν, οὐδὲ γράφειν, τούτῳ ταῦτα δίκαια λέγειν ἂν ἔχοι εἰκότως, ἐὰν φῇ δεῖν ὑμᾶς αὐτὸν ἐπιτιμῶσαι. τότε γὰρ τοῦτο ποιήσομεν, ὦ μὰ Δία, οὐχὶ νῦν, ἡνίκα δεῖ σε ἑτέρων, ὧν ἀδικεῖς, δοῦναι λόγον· ἀλλ' ὅταν ᾖ προσῆκον ἐκ τοῦ νόμου. καὶ νῦν δὲ σε δικαίως οὐκ ἐῶντα γράφειν σε, οὐδὲ τοῖς ἄλλοις ἔξεστι τῶν νόμων. ὡς ἂν οὐκ ὦφλεν ὁ πατήρ σου, τοῦτ' ἐπιδείξον, ἢ ὡς οὐκ ἀποδρὰς ἐξῆλθεν ἐκ τοῦ δεσμωτηρίου, ἀλλὰ τὰ χρήματα ἐκτίσας. εἰ δὲ μὴ ταῦθ' ἕξεις ἐπιδεικνύειν, οὐκ ἐξὸν γέγραφας. κληρονόμον γάρ σε καθίστησιν ὁ νόμος τῆς ἀτιμίας τῆς τοῦ πατρός. ὅτι δ' ἑταιρηκότι οὐ λέγειν οὐ προσῆκεν, οὐδὲ γράφειν. καὶ περὶ μὲν τῶν νόμων, οὓς παραγεγράφαμεν, ὅμως δεῖν ὑμᾶς ἂν τὸ φενακίζειν ἐπιχειρῇ, καὶ παράγειν αὐτῷ, ταῦθ' ὑπολαμβάνειν, ἃ διεξελήλυθα νῦν. εἰσὶ δὲ καὶ περὶ τῶν ἄλλων αὐτῷ λόγοι, περὶ τὸ φενακίζειν ὑμᾶς εὖ μεμηχανημένοι. περὶ γοῦν βέλτιον ὑμᾶς προακοῦσαι. ἔστι γὰρ εἷς αὐτοῖς τοιοῦτος, μὴ πεντακοσίοις ὑμῖν αὐτῶν ἀφελέσθαι τὴν δωρεάν, μηδὲ ὄνειδος περιβαλεῖν. ἐκείνων ὁ ἀγών, οὐκ ἐμός. ὑμεῖς δ' ἐὰν μὲν ἀμελλῆτε ἀφαιρήσεσθε τούτους μόνον, ἀλλὰ δὲ μηδὲν ἀδικήσετε τὴν πόλιν, οὐδὲν ἂν ὑμᾶς σφόδρα σπουδάζειν ἠξίουν. εἰ δὲ παρὰ τοῦτο ποιήσετε, πλείους, ἢ μείζους τῶν ἄλλων πολίτας βλάψετε, ἀφείψατε, πόσῳ κάλλιον τούτους

παρασκευάσαι χερσίν, ἢ πεντακοσίοις ἀνθρώποις χαρίσασθαι. ὡς δ' οὐκ ἔστιν ἁπάσης τὸ πρᾶγμα τῆς βουλῆς, ἀλλά τινων, οἵπερ εἰσὶν αἴτιοι τῶν κακῶν, καὶ Ἀνδροτίωνος, ἔχω λέγειν. τῷ γὰρ ὅταν ὀκνῇ τις, εἰ σιωπῶντος αὐτοῦ καὶ μηδὲν γράφοντος, ἴσως δ' οὐδὲ τὰ πολλὰ εἰς τὸ βουλευτήριον εἰσιόντος, μὴ λάβῃ ἡ βουλὴ τὸν στέφανον. οὐδενὶ δήπουθεν, ἀλλὰ τῷ γράφοντι καὶ πολιτευομένῳ καὶ πείθοντι ἃ ἐβούλετο τὴν βουλήν. διὰ γὰρ τούτους ἀνάξια τοῦ στεφανωθῆναι βεβούλευκεν. οὐ μὴν ἀλλὰ καὶ τὸ μάλιστα πάσης ἰδ' ὁ ἀγὼν τῆς βουλῆς, ὅσῳ συμφέρει μᾶλλον ὑμῖν καταγνῶναι, ἢ μή, θεάσασθε. εἰ μὲν ἀπογνώσεσθε, ἐπὶ τοῖς λέγουσι τὸ βουλευτήριον ἔσται. ἐὰν δὲ καταγνῶτε, ἐπὶ τοῖς ἰδιώταις. ἑορακότες γὰρ οἱ πολλοὶ διὰ τὴν τῶν λεγόντων πονηρίαν τὴν δ' ἀφῃρημένην τὴν βουλὴν τὸν στέφανον, οὐχὶ προήσονται τούτοις τὰς πράξεις, ἀλλὰ τὰ βέλτιστ' ἐροῦσιν αὐτοί. εἰ δὲ γενήσεται τοῦτο, καὶ τῶν εἰθισμένων καὶ συνεστηκότων ῥητόρων ἀπαλλαγήσεσθε, ὄψεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, πάνθ' ἃ προσήκει γιγνόμενα. ὥστ' εἰ μηδενὸς ἄλλου ἕνεκα, διά γε ταῦτα καταψηφιστέον. ὃ τοίνυν ἕτερον δεῖ μὴ λαθεῖν ὑμᾶς, ἀκούσατε. ἴσως ἀναβήσεται, καὶ συνερεῖ τῇ βουλῇ Φίλιππος, καὶ Ἀντιγένης, καὶ ὁ ἀντιγραφεύς, καί τινες ἄλλοι, οἵπερ ἐκεῖ δι' ἑαυτῶν εἶχον μετὰ τούτου τὸ βουλευτήριον, καὶ τούτων τῶν κακῶν εἰσιν αἴτιοι. δεῖ δὴ πάντας ὑμᾶς γιγνώσκειν, ὅτι τούτοις ἐστὶ μὲν ἡ πρόφασις τῆς συνηγορίας, τῇ βουλῇ βοηθεῖν. τῇ δ' ἀληθείᾳ, ὑπὲρ αὑτῶν ἀγωνιοῦνται καὶ τῶν εὐθυνῶν, ἃς αὐτοὺς προσήκει δοῦναι τῶν πεπραγμένων. ἔχει γὰρ οὕτως.

ἔχουσι. ἐὰν μὲν ἀπογνῶτε τὴν γραφὴν ταύτην, οὗτοι πάντες εἰσὶν ἀπηλλαγμένοι, καὶ δίκην οὐδεὶς οὐδεμίαν μὴ δῷ· τίς γὰρ ἔτ᾽ ἂν καταψηφίσαιτ᾽ ἐκείνων, τὴν βουλὴν ὑμῶν ἐστεφανωκότων; δὶς οὗτοι φεύγουσιν. ἐὰν δὲ καταγνῶτε, πρῶτον μὲν τὰ εὔορκα ἔσεσθ᾽ ἐψηφισμένοι. εἶτ᾽ ἐπὶ τῆς διαψηφίσεως ἕκαστον τούτων λαμβάνοντες, ὃς μὲν ἂν ὑμῖν ἀδικεῖν δοκῇ, κολάσετε· ὃς δ᾽ ἂν μή, τότ᾽ ἀφήσετε. μὴ οὖν ὡς ὑπὲρ τῆς βουλῆς λεγόντων καὶ τῶν πολλῶν ἀκούετε, ἀλλ᾽ ὡς ὑπὲρ αὑτῶν παρακρουομένοις ὀργίζεσθε. ἔτι τοίνυν ἀρχαίαν [illegible] τὴν [illegible], καὶ γὰρ αὖ ἐβούλλε περιουσ[illegible], [illegible] ἐπήφθη, ἀπηγεῖσθαι, καὶ συμμετέχειν αὐτοῖς. ἐγὼ δ᾽ οἶμαι δεῖν οὐδὲ πῶς ἀκούειν [illegible]· ἐρέσθαι αὐτὸν ταῦτα, ἃ κατηγόρηται τῆς βουλῆς, πότερ᾽ αὐτῷ δοκεῖ καλῶς ἔχειν ἢ κακῶς. κἂν μὲν φῇ καλῶς, μηκέτι τὸν νοῦν ὡς ἐπιεικεῖ προσέχειν· ἐὰν δὲ κακῶς, τί δὴ ταῦτ᾽ εἴασε [illegible] ἐπιεικὴς ὤν, πάλιν αὐτὸν ἐρωτᾶτε. κἂν μὲν ἀντιλέγειν φῇ, μηδὲν αὐτοῦ πείθεσθε, ἄτοπον δήπου [illegible] λέγειν ὑπὲρ τῆς τὰ βέλτιστα ἐχούσης [illegible] αὐτοῦ βουλῆς. ἐὰν δὲ σιωπᾷ, πῶς οὐκ ἀδικεῖ, εἰ παρὸν ἐξελέγχειν μέλλοντας ἀποδέχεσθαι, τότε μὲν οὐκ ἐπόλμησε, νῦν δὲ λέγειν τολμᾷ, ὡς δεῖ τοὺς τοιαῦτα κακὰ εἰργασμένους στεφανῶσαι. οἶμαι τοίνυν αὐτὸν οὐδ᾽ ἐκείνων ἀφέξεσθαι τῶν λόγων, ὅτι ταῦτα πάντα αὐτῷ διὰ τὰς εἰσπράξεις γέγονεν, ἃς ὑπὲρ ὑμῶν ὀλίγους εἰσπρᾶξαι φήσει, πολλὰ χρήματα ἀναλοῦσι [illegible] καὶ κατηγορήσει τούτων, πρᾶγμα ῥᾴδιον, οἶμαι, διεξιών, τῶν μὴ τεθέντων τὰς εἰσφοράς, καὶ [illegible]

ἤ τι πᾶσαν ἄδειαν ἔσεσθαι τῷ μὴ τιθέναι τὰς εἰσφοράς, καταψηφίσησθε αὐτοῦ. ὑμεῖς δ', ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτον μὲν ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι οὐ περὶ τούτων δικάσειν ὠμόσατε, ἀλλ' εἰ κατὰ τοὺς νόμους τὸ ψήφισμα εἴρηται. οὐδ' ὅτι πᾶν δεινόν ἐστι, κατηγορίαν ποιούμενον, ὡς ἀδικοῦσί τινες τὴν πόλιν, αὐτὸν ἀξιοῦν, ὧν ἀδικεῖ, μειζόνων ὄντων, μὴ δοῦναι δίκην· πολὺ γὰρ δήπου μεῖζον ἐστ' ἀδίκημα γράφειν παρὰ τοὺς νόμους, ἢ τὰς εἰσφορὰς μὴ * θεῖναι. ὅτι τοίνυν οὐδ' εἰ φανερῶς ἔμελλεν, ἀφέντος τούτου, μηδεὶς εἰσοίσειν, μηδ' ἐθελήσειν εἰσπράττειν, οὐδ' οὕτως ἀποψηφιστέον, ἐκ τῶνδε γνώσεσθε. ὑμῖν παρὰ τὰς εἰσφορὰς τὰς ἀπὸ Ναυσινίκου πλείους τάλαντα τριακόσια, ἢ μικρῷ πλείονα, ἐλλείμματα τέτταρα καὶ δέκα ἐστὶ τάλαντα. ὧν ἑπτὰ οὗτος εἰσέπραξεν. ἐγὼ δὲ τίθημι ἅπαντα. ὅτι μὲν δὴ τοὺς ἑκόντας τιθέντας, οὐ δεῖσθε ἀνθρωπίνου. ὅτι δὲ τοὺς ἐλλείποντας. ἔστι τοίνυν ὑμῖν νυνὶ σκεπτέον, εἰ τοσοῦτον τιμᾶσθε τὴν πολιτείαν, καὶ τοὺς κειμένους * νόμους, καὶ τὸ εὐορκεῖν· εἰ γὰρ ἀποψηφιεῖσθε τούτου, φανερῶς ὑπὸ παρὰ τοὺς νόμους εἰρηκότος, δόξετε πᾶσι τὰ χρήματα ταῦτα ἀντὶ τῶν νόμων καὶ τῆς εὐορκίας ᾑρῆσθαι. ἃ οὐδ' ἂν εἰ παρ' ἑαυτοῦ δοίη τις ὑμῖν, λαβεῖν ἄξιον, μήτι γε ἀφ' ὧν ἑτέρους εἰσπράττειν. ὥστε, ὅταν ταῦτα λέγῃ, μέμνησθε τῶν ὅρκων, καὶ τῆς γραφῆς ἐνθυμεῖσθε, ὅτι οὐκ ἔστι περὶ πράξεως εἰσφορῶν ἀλλ' εἰ δεῖ κυρίους εἶναι τοὺς νόμους. καὶ περὶ μὲν τούτων, ὃν τρόπον ὑμᾶς * ἀπαιτῶν ἀπὸ τοῦ νόμου, παρακρούσεσθαι ζητήσει, καὶ ἃ πρὸς ταῦτα ὑμᾶς μνημονεύ-

* τιθέναι.

Γρ. [illegible]

* [illegible]

* ἀπάγων.

ἀναγνόντος μὲν ἐκείνου προσηκόντως, πολλὰ λέγειν ἔχων ἔτι, καὶ τῶν ἴσως ἱκανῶς ἡγούμενος· βούλομαι δὲ καὶ τὰ πολιτεύματα ἐξετάσαι τοῦ καλοῦ κἀγαθοῦ τούτου, δι' ἃ σώζειν ἑαυτὸν ἀξιοῖ, ἃ τῶν δεινοτάτων ἀλειτηρίων γέγονεν. καὶ γὰρ ἀναιδῆ, καὶ θρασὺν, καὶ κλέπτην, καὶ ὑπερήφανον, καὶ πάντα μᾶλλον, ἢ ἐν δημοκρατίᾳ πολιτεύεσθαι ἐπιτήδειον ὄντ' αὐτὸν, ἐπιδείξω. καὶ πρῶτον μὲν ἐφ' ᾧ μέγιστον φρονεῖ, τὴν τῶν χρημάτων εἴσπραξιν, ἐξετάσωμεν αὐτοῦ, μὴ τῇ τούτου προσέχοντες ἀλαζονείᾳ τὸν νοῦν,

*ἀληθ- … ἀλλὰ τὸ πρᾶγμα οἷον γέγονε τῇ ἀληθείᾳ σκοποῦντες. οὗτος Εὐκτήμονα φήσας τὰς ὑμετέρας ἔχειν εἰσφορὰς, καὶ τοῦτο ἐξελέγξειν, ἢ παρ' ἑαυτοῦ καταθήσειν,

*κλήρω[] τὴν α. ὑποσχόμενος, καταλύσας ψηφίσματι κληρωτὴν ἀρχὴν ἐπὶ τῇ προφάσει ταύτῃ, ἐπὶ τὴν εἴσπραξιν παρέδυ. δημηγορίαν δ' ἐπὶ τούτοις ποιούμενος, ὡς ἦν τριῶν αἵρεσις ὑμῖν, ἢ τὰ πομπεῖα κατακόπτειν, ἢ πάλιν εἰσφέρειν, ἢ τοὺς ὀφείλοντας εἰσπράττειν, αἱρουμένων εἰκότως ὑμῶν, τοὺς ὀφείλοντας εἰσπράττειν,

*θαυμασίων. ταῖς ὑποσχέσεσι κατέχων, καὶ διὰ τὸν καιρὸν ὃν εἶχεν τότε ἔχων ἐξουσίαν, τοῖς μὲν κειμένοις νόμοις περὶ τούτων, οὐκ ᾤετο δεῖν χρῆσθαι, οὐδ', εἰ μὴ τούτους ἐνόμιζεν ἱκανοὺς, ἑτέρους τιθέναι. ψηφίσματα δ' εἰπὼν ἐν ὑμῖν δεινὰ καὶ παράνομα, δι' ὧν ἠργολάβει, καὶ πολλὰ τῶν ὑμετέρων κέκλοφε, τοὺς ἕνδεκα ψηφισάμενος ἀκολουθεῖν μεθ' αὑτοῦ. εἶτ' ἔχων τούτους ᾔει ἐπὶ τὰς τῶν πολιτῶν οἰκίας. καὶ τὸν μὲν Εὐκτήμονα, ὃν εἰσπράξειν, ἢ καταθήσειν αὐτὸς ἔφη τὰς εἰσφορὰς, οὐδὲν εἶχεν ἐξ-

γρ. αὐτῶν ελέγχειν περὶ τούτων. ὑμᾶς δ' εἰσέπραττεν, ὥσπερ

οὐ διὰ τὴν εὐκτήμονος ἔχθραν ἐπὶ ταῦτα ἦλθεν, ἀλλὰ διὰ τὴν ὑμετέραν. καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν, ὡς οὐκ ἐχρῆν εἰσπράττειν τοὺς ὀφείλοντας· χρῆν γάρ· ἀλλὰ πῶς; ὡς ὁ νόμος κελεύει, τῶν ἄλλων ἕνεκα· τοῦτο γάρ ἐστι δημοτικόν. οὐ γὰρ τοσοῦτον, ὦ ἄνδρες ἀθηναῖοι, τοσούτων χρημάτων τοῦτον τὸν τρόπον εἰσπραχθέντων ὠφέλησθε, ὅσον ἐζημίωσθε, τοιούτων ἐθῶν εἰς τὴν πολιτείαν εἰσαγομένων. εἰ γὰρ ἐθέλετε ἐξετάσαι τίνος ἕνεκα μᾶλλον ἄν τις ἕλοιτο ἐν δημοκρατίᾳ ζῆν, ἢ ἐν ὀλιγαρχίᾳ, τοῦτ' ἂν εὕροιτε προχειρότατον, ὅτι πάντα πρᾳότερά ἐστιν ἐν δημοκρατίᾳ. ὅτι μὲν τοίνυν τῆς ὁποίας βούλεσθε ὀλιγαρχίας οὗτος ἀσελγέστερος γέγονε, παραλείψω. ἀλλὰ παρ' ὑμῖν, πότε τὰ δεινότατα ἐν τῇ πόλει γέγονεν; ἐπὶ τῶν τριάκοντα πάντες ἂν εἴποιτε. τότε τοίνυν, ὡς ἔστιν ἀκούειν, οὐδείς ἐστιν, ὅστις ἀπεστερεῖτο τοῦ σωθῆναι, ὅστις ἑαυτὸν οἴκοι κρύψειεν. ἀλλὰ τοῦτο κατηγοροῦμεν τῶν τριάκοντα, ὅτι τοὺς ἐκ τῆς ἀγορᾶς ἀδίκως ἀπῆγον. οὑτοσὶ τοίνυν, τοσαύτην ὑπερβολὴν ἐποιήσατο ἐκείνων τῆς αὑτοῦ βδελυρίας, ὥστε ἐν δημοκρατίᾳ πολιτευόμενος, τὴν ἰδίαν οἰκίαν ἑκάστῳ δεσμωτήριον κατέστησε, τοὺς ἕνδεκα ἄγων ἐπὶ τὰς οἰκίας. καίτοι, ὦ ἄνδρες ἀθηναῖοι, τί οἴεσθε, ὁπότ' ἂν ἄνθρωπος πένης ἢ καὶ πλούσιος πολλὰ ἀνηλωκώς, καί τινα ἴσως τρόπον εἰκότως οὐκ εὐπορῶν ἀργυρίου, ἢ τέγος ὡς τοὺς γείτονας ὑπερβαίνοι, ἢ ὑποδύοιτο ὑπὸ κλίνην, ὑπὲρ τοῦ μὴ τὸ σῶμα ἁλοὺς εἰς τὸ δεσμωτήριον ἕλκεσθαι, ἢ ἄλλα ἀσχημονοίη. ἃ δούλων, οὐκ ἐλευθέρων ἐστὶν ἔργα, καὶ ταῦθ'

ὑπὲρ δὲ τῆς ἑαυτοῦ γυναικὸς ὀρφανὸν ποιοῦν, ἣν δὲς ἐλεύθερος ἐγγυήσατο, καὶ τῆς πόλεως πολίτης. ὁ δ' αἴτιος, ἀνδραπόδων εἶναι, ὃν οὐδ' ὑπὲρ ἑαυτοῦ δίκην λαμβάνειν ἐξῆν τὰ πεπραγμένα καὶ βεβιωμένα, μή τι γε ὑπὲρ τῆς πόλεως. καί τοι, εἴ τις ἔροιτο αὐτὸν, τὰς εἰσφορὰς, πότερον τὰ κτήματα, ἢ τὰ σώματα ὀφείλει; τὰ κτήματα, φήσειεν ἂν, εἴπερ ἀληθῆ λέγειν βούλοιτο. ἀπὸ γὰρ τούτων εἰσφέρομεν. τίνος οὖν ἕνεκα ἀφεὶς τὰ χωρία δημεύειν, καὶ τὰς οἰκίας, καὶ ταῦτ' ἀπογράφειν, ἔδεις καὶ ὕβριζες πολίτας ἀνθρώπους, καὶ τοὺς ταλαιπώρους μετοίκους, οἷς ὑβριστικώτερον, ἢ τοῖς οἰκέταις τοῖς αὑτοῦ κέχρησαι. καὶ μὴν, εἰ θέλετε σκέψασθαι τί δοῦλον, ἢ ἐλεύθερον εἶναι, διαφέρει, τοῦτο μέγιστον ἂν εὕροιτε, ὅτι τοῖς μὲν δούλοις, τὸ σῶμα τῶν ἀδικημάτων ἁπάντων ὑπεύθυνόν ἐστι. τοῖς δ' ἐλευθέροις, κἂν τὰ μέγιστα τύχωσιν ἀδικοῦντες, τοῦτό γ' ἔνεστι σῶσαι. εἰς χρήματα γὰρ τὴν δίκην περὶ τῶν πλείστων παρὰ τούτων προσήκει λαμβάνειν. ὁ δὲ, τοὐναντίον εἰς τὰ σώματα, ὥσπερ ἀνδραπόδοις, ἐποιήσατο τὰς τιμωρίας. οὕτω δ' αἰσχρῶς καὶ πλεονεκτικῶς ἔχει πρὸς ὑμᾶς, ὥστε τὸν μὲν ἑαυτοῦ πατέρα ᾤετο δεῖν, δημοσίᾳ δεθέντα ἐπὶ χρήμασιν ἐκ τοῦ δεσμωτηρίου, μήτε ἀποδόντα ταῦτα, μήτε κριθέντα ἀποδρᾶναι. τῶν δ' ἄλλων πολιτῶν τὸν μὴ δυνάμενον τὰ ἑαυτοῦ θεῖναι οἴκοθεν, εἰς δεσμωτήριον ἕλκειν. ἐπὶ τούτοις ὡς ὁποῖον ἔξεστιν ἑαυτῷ ποιεῖν, συνέλαβε καὶ προσσυνεχύρεξε, καὶ Φανοστράτην, ἀνθρώπους πόρνας, οὐ μέντοι γ' ὀφειλούσας εἰσφοράς. καίτοι εἴ τισι δο-

Margin notes: αὐτοῦ. — κέχρησαι — προσσυνεχύρεξε.

δοκοῦσιν ἐπιτήδειαι ἐκεῖναι προσθεῖναι, ἀλλά τὸ πρᾶγμά γε οὐκ ἐπιτήδειον γίγνεσθαι, τηλικοῦτόν τινας φρονεῖν διὰ πονηρίαν, ὥστε βαδίζειν ἐπ' οἰκίας, καὶ ἐκφέρειν, μηδὲν ὀφειλόντων ἀνθρώπων. πολλοὺς γὰρ ἄν τις ἴδοι πολλοῖς ἐπιτηδείους ὄντας πάσχειν, καὶ πεπονθέναι. ἀλλ' οὐ ταῦτα λέγουσιν οἱ νόμοι, οὐδὲ τὰ τῆς πολιτείας ἔθη, ἃ φυλακτέον ὑμῖν· ἀλλ' ἔνεστιν ἔλεος, συγγνώμη, πάνθ' ὅσα προσήκει τοῖς ἐλευθέροις, ὧν οὐδὲ ἀπολαύειν εἰκότως οὐ μετέχει τῇ φύσει, οὐδὲ τῇ παιδείᾳ· πολλὰ γὰρ ὑβρισμένος, καὶ προπεπηλακισμένος, συνὼν οὐκ ἀγαπῶσιν αὐτὸν ἀνθρώποις, ἀλλὰ δοῦναι μισθὸν δυναμένοις· ὧν προσῆκέ σοι τὴν ὀργὴν, οὐκ εἰς τῶν πολιτῶν τὸν τυχόντα ἀφιέναι, οὐδ' εἰς τὰς ὁμοτέχνους σοι πόρνας, ἀλλ' εἰς τοῦτον τὸν τρόπον θρέψαντά σε πατέρα. ταῦτα τοίνυν ὡς μὲν οὐ δεινὰ καὶ παρὰ πάντας τοὺς νόμους, οὐχ ἕξει λέγειν οὐδέν. οὕτω δ' ἐστὶν ἀναιδὴς, ὥστ' ἐν τῷ δήμῳ προαγῶνας ἀεὶ κατασχολιάζων ἑαυτὸν τῆσδε τῆς γραφῆς, ἐτόλμα λέγειν, ὡς ὑπὲρ ὑμῶν, καὶ δι' ὑμᾶς ἐχθροὺς ἐφ' ἑαυτὸν ἐφείλκυσε, καὶ νῦν ἐν τοῖς ἐσχάτοις ἐστὶ κινδύνοις. ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλομαι δεῖξαι τοῦτον οὔτε πεπονθότα οὐδ' ὁτιοῦν κακὸν, οὔτε μέλλοντα πάσχειν οὐδὲν, δι' ὧν ὑπὲρ ὑμῶν ἔπραξε. διὰ μέντοι τὴν αὑτοῦ βδελυρίαν, καὶ θεοῖς ἐχθρὰν αἰσχροκέρδειαν, πέπονθέ τι μὲν μέχρι τῆσδε τῆς ἡμέρας οὐδὲν, πείσεται δὲ, ἂν τὰ δίκαια ποιῆτε ὑμεῖς· σκέψασθε γὰρ ὅτι. τί ποθ' ὑμῶν οὐδὲν ἀπέσχετο, καὶ τί ποιεῖν αὐτὸν ἐχειροτονήσατε ὑμεῖς. χρήματα

ἑαυτὸν, α

ἥλκυσε

εἰσπράττειν, ἀλλ' ἦν περὶ τούτου τίμημα οὐδέν. φέρε δὴ καθ' ἕκαστον ὑπομνήσω τὴν εἴσπραξιν ὑμᾶς, πόθεν εἰσέπραξε; Λεπτίνην τὸν ἐκ Κοίλης, τέτταρας καὶ τριάκοντα δραχμάς, καὶ Θεόξενον, τὸν Ἀλωπεκῆθεν, δραχμὰς ἑβδομήκοντα, καὶ μικρόν τι πρός, καὶ τὸν Εὐφήμου Καλλικράτην, καὶ τὸν Τηλέστου Νικίαν· οὐκ ἔχω γὰρ τὰ ὀνόματα εἰπεῖν σχεδὸν ἁπάντων, ὧν εἰσέπραξεν. ἵνα μὴ καθ' ἕκαστον λέγω, οὐκ οἶδα εἴ τινα ὑπὲρ μνᾶν ὀφείλοντα. πότερ' οὖν οἴεσθε τούτων ἕκαστον μισεῖν καὶ πολεμεῖν αὐτῷ διὰ τὴν εἰσφορὰν ταύτην, ἢ διὰ τὸ μετ' αὐτῶν, ὅτι πάντων ἀκουόντων ὑμῶν, ἐν τῷ δήμῳ δοῦλον ἔφη, καὶ ἐκ δούλων εἶναι, καὶ προσήκειν αὐτῷ τὸ ἕκτον μέρος εἰσφέρειν μετὰ τῶν μετοίκων. τῷ δ' ὅτι παῖδας ἐκ πόρνης εἶναι. τοῦ δὲ τὸν πατέρα ἡταιρηκέναι. τοῦ δὲ τὴν μητέρα πεπορνεῦσθαι. τῷ δὲ ἀπογράφειν ὅσα ὑφείλετο ἐξ ἀρχῆς· τὸν δὲ τοῦτ' εἶναι, τὸν δ' ἄλλα ῥητὰ καὶ ἄρρητα κακὰ ἐξῆς ἅπασιν. ἐγὼ μὲν γὰρ οἶδ' ὅτι πάντες, εἰς οὓς ἐπαρῴνησεν οὗτος, τὴν μὲν εἰσφορὰν ἕκαστος ἀναγκαῖον ἐνόμιζεν εἶναι, ... ὑπελάμβανεν εἶναι, τοιαῦτα δ' ἀκηκοότες, καὶ προπηλακισθεὶς χαλεπῶς ἐνήνοχε. κἀκεῖνο οἶδα, ὅτι χρήματα εἰσπράττειν τοῦτον ἐχειροτονήσατε ὑμεῖς, οὐχὶ τὰς ἰδίας συμφορὰς ὀνειδίζειν, καὶ προφέρειν ἑκάστῳ. εἴτε γὰρ ἦσαν ἀληθεῖς, οὐ σοὶ ῥητέον· πολλὰ γὰρ ἄνθρωποι ἕκαστοι οὐχ ὡς βούλονται πράττουσιν· εἴτε ψευδῶς προσποιήσας κατεσκεύαζες, πῶς οὐχ ὅτι μυρίων ἀξίως ἀδικεῖς; ἔτι τοίνυν ἐκ τῶνδ' ἀκριβέστερον γνώσεσθε, ὅτι μισεῖ τοῦτον ἕκαστος οὐ διὰ τὴν εἴσπραξιν, ἀλλ' ὑφ' ὧν ὑβρίσθη, καὶ ἐπηρεάσθη. Σάτυρος γὰρ ὁ τῶν νεωρίων ἐπι-

Καλλι- κράτην.

ὑπέλαβεν.

γράφετε.

ἐπιμελητὴς; ἀλλ' ἥμισυ τάλαντα εἰσέπραξεν ὑμῖν, ἀλ-
λὰ τριήραρχος καὶ πεντήκοντα τοὺς αὐτοὺς τούτους ἀνθρώ-
πους, οἷς ἂν παρέδωκε τὰ σκεύη ταῖς ἐκπλευσάσαις
ναυσί. καὶ ἔτ' ἐκεῖνος διὰ ταῦτα οὐδένα ἐχθρὸν ἑαυ-
τοῦ φησιν εἶναι, ἔτι τῶν εἰσπραχθέντων οὐδεὶς ἑκὼν πο-
λεμεῖ. ὑμεῖς γὰρ, τὸ προστεταγμένον οἶμαι διεπράττε-
το. σὺ δὲ τῇ σεαυτοῦ προπετείᾳ καὶ θρασύτητι λα-
βὼν ἐξουσίαν, πολλὰ ἀγνωμονήσας εἰς τὴν πόλιν ἀν-
θρώπους, καὶ σὺ ζητεῖς, καὶ ἐν βελτίοσιν, ψευδέσι
καὶ χαλεποῖς ὀνείδεσιν οὐ δεῖ καταβάλλειν. εἶτα ταῦ-
θ' οὗτοι πεισθῶσιν ὑπὲρ αὐτῶν σε ποιεῖν, καὶ τὰ τῆς σῆς πεισθή-
ἀναισχυντίας καὶ πονηρίας ἔργα ἐφ' ἑαυτοὺς ἀναδέξ- σονται.
ονται; ἀλλὰ μισεῖν δικαιότερον διὰ ταῦτά σε ὑφ' ἑ- αὐ ἀναι-
κοῖν, ἢ σώζειν. τὸν γὰρ ὑπὲρ πόλεως προεστηκότα τι, δεῖ τὸ σχυντίας.
τῆς πόλεως ἦθος μιμεῖσθαι· καὶ σώζειν ὑμῖν τοὺς a.b.
τοιούτους, ὦ ἄνδρες ἀθηναῖοι προσήκει, καὶ μι-
σεῖν τοὺς οἷος οὗτός ἐστι. ὡς ἐκεῖνό γε εἰδόσι μὲν ἴσως, ὅ-
μως ἐρῶ. ὁποίους τινὰς ἂν φαίνησθε ἀγαπῶντες,
καὶ σώζοντες τούτοις ὅμοιοι δόξετε εἶναι. ὅτι τοίνυν ὅ-
λως οὐδὲ τὴν εἴσπραξιν αὐτὴν ὑπὲρ ὑμῶν πεποίηται,
καὶ τοῦτο αὐτίκα δὴ μάλα δῆλον ὑμῖν ποιήσω. εἰ
γὰρ τις ἔροιτο αὐτὸν πότεροι αὐτῷ δοκοῦσιν ἀδικεῖν
μᾶλλον τὴν πόλιν, οἱ γεωργοῦντες, καὶ φειδόμενοι,
διὰ παιδοτροφίας δὲ, καὶ οἰκεῖα ἀναλώματα, καὶ λει-
τουργίας ἑτέρας, ἐλλελοιπότες τὰς εἰσφορὰς ἢ
οἱ τὰ τῶν ἐθελησάντων εἰσενεγκεῖν χρήματα, καὶ τὰ
παρὰ τῶν συμμάχων κλέπτοντες καὶ ἀπολλύοντες. οὐκ
ἂν εἰς τοῦτο τόλμης δήπου, καίπερ ὢν ἀναιδὴς, ἔλθοι,

ὥστε

ὥστε φθάνειν τινὰς τὰ ἑαυτῶν μὴ εἰσφέροντας μᾶλλον
ἀδικεῖν, ἢ τοὺς τὰ κοινὰ ὑφαιρουμένους. τίνος οὖν
ἕνεκα, ὦ βέλτιστε, ἀπὸ τούτων πολλάκις μὲν παρόν-
τος, ἀφ' οὗ σὺ πολιτεύῃ, καὶ ἐν τούτῳ τῷ χρόνῳ πολ-
λῶν μὲν στρατηγῶν ἠδικηκότων τὴν πόλιν, πολλῶν
δὲ ῥητόρων, ὧν ἐνίοις τουτοισὶ μέχρι τοῦ νῦν, οἱ μὲν
τεθνᾶσιν ἐφ' οἷς ἠδίκουν· οἱ δ' ἀποδράντες ᾤχοντο
φεύγοντες, οὐδενὸς πώποτε ἐξεταστὴς κατήγορος,
μηδ' ἀγανακτῶν ἐφάνης ὑπὲρ ὧν ἡ πόλις πάσχει, ἀλλὰ
τοῖς σὺ θρασὺς καὶ λέγειν δεινός, ὅπου ἐπιδεῖξαι ἡμᾶς
τίνος κηδεμὼν εἶ, καὶ σὺ τοὺς πολλοὺς ἔδει κακῶς ποιῆσαι;
βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τούτου αἴτιον ἐ-
γὼ ὑμῖν εἴπω; ὅτι τούτων μὲν μετέχουσιν ὧν ἀδι-
κοῦσιν ὑμᾶς τινές, ἀπὸ δὲ τῶν εἰς τὸν περιπλούμενον ὑφαι-
ροῦνται· δι' ἐκκλησίαν δὲ τρόπον, διχόθεν καρποῦν-
ται τὴν πόλιν· ἔπειτα γὰρ ῥᾷον πολλοῖς, καὶ τὰ μικρὰ ἀ-
δικοῦσιν ἀπεχθάνεσθαι, ἢ ὀλίγοις καὶ μεγάλα. ἔπει-
τα δημοτικώτερον δοκεῖ τὰ τῶν πολλῶν ἀδικήματα
ἐρευνᾶν, ἢ τὰ τῶν ὀλίγων. ἀλλὰ τὸ τούτου αἴτιον, ὃ ἐγὼ
λέγω, τῶν μὲν, οὐδέν ἐστιν αὐτὸν ὅτι τῶν ἀδικούν-
των. ὑμᾶς δ' οὐδενὸς ἀξίους ἡγήσατο. διὰ τοῦτον
ἐχρήσατο τὸν τρόπον ὑμῖν. εἰ γὰρ ἀνδραπόδων πόλις,
ἀλλὰ μὴ τῶν ἄρχειν ἑτέρων ἀξιούντων, ὡμολογεῖτο
εἶναι, οὐκ ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς ὕβρεις ἠνέσχε-
σθε τὰς τούτου, ἃς κατὰ τὴν ἀγορὰν ὕβριζεν, ὁμοῦ με-
τοίκοις, Ἀθηναίοις δέον, ἀπάγων, βοῶν ἐν ταῖς ἐκ-
κλησίαις, ἐπὶ τοῦ βήματος, δούλους καὶ ἐκ δούλων
καλῶν, ἑαυτοῦ βελτίους, καὶ ἐκ βελτιόνων, ἐρωτῶν εἰ

μάτην

μένον τὸ δεσμωτήριον ᾠκοδομήθη· [illegible] ἐπ-
ἐγεγράφει, ὁ πατὴρ ὁ τούτου ᾤχετο αὐτοῖν ταῖν
πέδαιν ἐξορχησάμενος· [illegible] τὴν πομπεία
ἀλλὰ καὶ ὕβρεις ὕβρεων, οὐδ' ἂν ἔχοι τις εἰπεῖν τὴν
αἰτίαν τοῦ πλήθους ἐστίν· ὧν δωρεὰν ἄξιον λαβόντας
δίκην τήμερον, παράδειγμα ποιῆσαι τοῖς ἄλλοις ἵν'
ὦσι μετριώτεροι. ἀλλὰ νὴ Δία ταῦτα μὲν τοιοῦτός
ἐστιν, ἐν δὲ τῷ πεπολιτεῦσθαι, ἄλλως δ' ἐστὶ καὶ δί-
καιος· ἀλλὰ καὶ τἄλλα οὕτω πεπολίτευται ἅπαντα * α.β.
περὶ ὑμᾶς, ὥστε ἥκιστα ὧν ἀκηκόατε, ἄξιός ἐστι
μισεῖσθαι. τί γὰρ βούλεσθε εἴπω, τὰ πομπεῖα ἃ ἐπε-
σκεύασε, καὶ τὴν τῶν στεφάνων καθαίρεσιν, ἢ τὴν τῶν
φιαλῶν ποίησιν τὴν καλήν; ἀλλ' ἐπὶ τούτοις γε, εἰ καὶ
μηδὲν ἄλλο ἠδίκηκε τὴν πόλιν, τρὶς οὐχ ἅπαξ
τεθνάναι δίκαιος ἂν φαίνοιτο· καὶ γὰρ ἱεροσυλίας, καὶ
ἀσεβείας, καὶ κλοπῆς, καὶ πάντων τῶν δεινοτάτων, ἔ-
νοχός ἐστι. τὰ μὲν οὖν πολλὰ ὧν ἐξηπάτα λέγων ἐγὼ παραλεί-
ψω· φήσας δὲ ἀπορρεῖν τὰ φύλλα τῶν
στεφάνων, καὶ σαπροὺς εἶναι διὰ τὸν χρόνον, ὥσπερ ἴων,
ἢ ῥόδων ὄντας, ἀλλ' οὐ χρυσίου, συγκαθαιρεῖν ἔπειθε.
κᾆτ' ἐπὶ μὲν τῆς εἰσφορᾶς, τὸν δημόσιον παρεῖναι
προσέγραφεν, ὡς δὴ δίκαιος ὤν, ὃν ἕκαστος ἔμελλεν
ἀντιγραφέα ἔσεσθαι τῶν εἰσενεγκόντων. ἐπὶ
τοῖς στεφάνοις δ' οὓς κατέκοπτεν, οὐχὶ προσῆγε ταὐ-
τὸ δίκαιον τοῦτο. ἀλλ' αὐτὸς ῥήτωρ, χρυσοχόος, τα-
μίας, ἀντιγραφεὺς γέγονε. καίτοι εἰ μὲν ἅπαντα
ἠξίους ὅσα πράττεις τῇ πόλει, σαυτῷ πιστεύειν, οὐκ
ἂν δικαίως κλέπτης ὢν ἑαλώκεις· νῦν δ' ἐπὶ τῆς εἰσφορᾶς

τὸ δίκαιον

[illegible] ἀεί ποτε, μὴ μόνον [illegible] τοὺς ἄλλους
ἀνθρώπους. τὴν πόλιν [illegible] τὸ [illegible] καὶ [illegible]
[illegible] ἱερά, [illegible] ἐπὶ τῶν [illegible]
ἀναστήσῃ, καὶ [illegible] τὴν αὐτὴν φιλο-
τιμίαν [illegible] τῶν [illegible] φαίνῃ, [illegible]
ἀνδρῶν [illegible] μὲν οἴομαι. καὶ μὴν [illegible]
Ἀθηναῖοι, καὶ κατὰ [illegible] χρόνον [illegible] καὶ
καὶ [illegible] ἐπιγράμματα τῶν στεφάνων [illegible]
[illegible] ἐπιγέγραπται. οἴομαι γὰρ ὑμᾶς ἅπαντας ὁρᾶν
ὑπὸ τῶν στεφάνων τοὺς κύκλους [illegible] ἐπιγεγραμμένα,
οἱ σύμμαχοι τὸν δῆμον ἀνδραγαθίας ἕνεκα καὶ δικαιοσύ-
νης. ἢ οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηνᾷ. ἢ κατὰ πό-
λεις οἱ δεῖνες τὸν δῆμον, σωθέντες ὑπὸ τοῦ δήμου, οἷον
Εὐβοεῖς ἐλευθερωθέντες, ἐστεφάνωσαν τὸν δῆμον. πάλιν
[illegible] πάλιν, [illegible] ναυμαχίας τῆς πρὸς Λα-
κεδαιμονίους. τοιαῦτα ἦν τὰ τῶν στεφάνων ἐπιγράμ-
ματα. ταῦτα [illegible] πολλὴν εἶχε καὶ φιλο-
τιμίαν [illegible] τῶν στεφάνων ἀν-
τὶ ταῖς φιάλαις [illegible] ἐκείνων [illegible] ὑμῖν ὁ
πόρνος [illegible] Ἀνδροτίωνος ἐπιμεληθέντος [illegible]
[illegible] τὸ ὄνομα [illegible] οὗ [illegible]
[illegible] εἰς τὰ ἱερά [illegible] ἐν τοῖς ἱεροῖς
[illegible] τῶν φιαλῶν [illegible] ὁ μόνον [illegible]
[illegible] τοῖς στεφάνοις [illegible] ἢ φιλοτιμίαν [illegible]
[illegible] ὑμῶν. τρία τοίνυν [illegible] τὰ δεινότατα [illegible]
[illegible] αὐτοῖς. τὴν μὲν γὰρ θεὸν τοὺς στεφάνους
σεσύληκας, τὴν πόλιν δὲ τὸν ζῆλον ἠφάνικας [illegible]
[illegible] ὑπομνήματ᾽ ἦσαν ὄντες οἱ στέφανοι. τοὺς δ᾽

ἀναθέντες δόξαν οὐ μακρὰν ἀφῄρηνται, τὸ [illegible]
αὐτοῖς συνειδέναι, ἔπειτ' ἐπιγεγραμμένοι καὶ τοιαῦτα [illegible]
ταῦτα κατὰ τὸ πλῆθος εἰργασμένοι, εἰς τοῦτο [illegible]
ἀναισθησίας καὶ τόλμης προεληλύθασιν, ὥστε [illegible]
τοῖς γραμματεῦσι καὶ τοῖς αὐτοῖς [illegible]
ἔσται [illegible] ὑφ' ὑμῶν [illegible] δὲ, [illegible]
[illegible] καταδύεται τοῖς [illegible]
μόνον εἰς χρήματα ἀναιδὴς, ἀλλὰ καὶ σκαιὸς ἐστὶ [illegible]
οὐκ οἶδεν ἐκεῖνο, ὅτι στέφανοι μέν εἰσιν ἀρετῆς σημεῖον,
φιάλαι δὲ καὶ τὰ τοιαῦτα, πλούτου· καὶ στέφανος μὲν ἅπας,
κἂν μικρὸς ᾖ, τὴν ἴσην φιλοτιμίαν ἔχει τῷ μεγάλῳ. ἐκ-
πώματα δ' ἢ θυμιατήρια, ἐὰν μὲν ὑπερβάλλῃ τῷ πλήθει,
πλούτου τινὰ δόξαν προστετρίφθαι τοῖς κεκτημένοις· ἂν
δ' ἐπὶ μικροῖς τις σεμνύνηται, τοσοῦτ' ἀπέχει τοῦ
τιμῆς τινος διὰ ταῦτα τυχεῖν, ὥστε ἀπειρόκαλος προσ-
έδοξεν εἶναι. οὗτος τοίνυν ἀνελὼν τὰ τῆς δόξης κτή-
ματα, τὰ τοῦ πλούτου πεποίηται μικρὰ, καὶ οὐχ ὑμῶν ἄ-
ξια. καὶ οὐδὲ ἐκεῖνο εἶδεν, ὅτι πρὸς μὲν χρημάτων κτῆ-
σιν οὐδεπώποτε ὁ δῆμος ἐσπούδασε, πρὸς δὲ δόξης,
ὡς οὐδὲ πρὸς ἓν τῶν ἄλλων. τεκμήριον δέ. χρήματα μὲν
γὰρ πλεῖστα τῶν ἑλλήνων ποτὲ σχὼν, πάνθ' ὑπὲρ φιλο-
τιμίας ἀνήλωσεν. εἰσφέρων δ' ἐκ τῶν ἰδίων, οὐδένα
κίνδυνον ὑπὲρ δόξης ἐξέστη. ἀφ' ὧν κτήματα ἀθάνα-
τα αὐτῷ περίεστι, τὰ μὲν, τῶν ἔργων ἡ μνήμη. τὰ δὲ τῶν
ἀναθημάτων τῶν ἐπ' ἐκείνοις ἀνατεθέντων τὸ κάλ-
λος. προπύλαια ταῦτα, ὁ παρθενών, στοαὶ, νεώσοι-
κοι, οὐκ ἀμφορεῖς δύο, οὐδὲ χρυσίδες τέτταρες,

ἢ τρεῖς

[illegible], [illegible] μόνον [illegible], [illegible]
[illegible] [illegible], [illegible] αὐτὸν [illegible]
[illegible] [illegible] [illegible] ἐχθροὺς [illegible],
περιβάλλον-τας. [illegible] πλάττοντι τὰς εἰσφορὰς, ταῦτα [illegible]
[illegible], εἶναι τὸ μὴ χρώμενος συμβιῶναι ἀπολιτεύ-
[illegible] ἀλλὰ τοὺς ἐχθροὺς χρηστοὺς [illegible] πάσι [illegible]
[illegible] φρονῶν [illegible] πάλιν εἰς ὁμόνοιαν ἄγοντας,
[illegible] κλέος αὐτὸν κεκλήκασι. τοὺς δ' [illegible]
*ἐπιτει-δεύσαν-τας. [illegible] διὰ τοῦ βιβλίου, τῇ ἀληθείᾳ εἰρήκοντες. ὑ-
μεῖς δ' εἰς τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, [illegible]
* τοιοῦτα. [illegible] καὶ ῥαθυμίας, ὥστ' οὐδὲ * τοιαῦτα ἔχοντες
[illegible] μεμνῆσθε, [illegible] ἀνδραποδώ-
δων. [illegible] [illegible] ἀνδράποδον; [illegible]
[illegible] καὶ τοῦτο τὸ ἀσέβημα, ἔλαττόν τι [illegible] ἡγοῦμαι.
ἡγοῦμαι γὰρ [illegible] τὸν εἰς ἱερὰ [illegible] καὶ [illegible]
*ψήμα-σι. [illegible] καὶ [illegible], καὶ τὸ πρὸς τοὺς θεοὺς
[illegible], οὐχὶ [illegible] ἡμα-
ρτηκέναι [illegible] μόνον ἀλλὰ τὸν βίον ὅλον [illegible]
[illegible] ἁμαρτιῶν, διὰ τοῦτο βεβίωται.